Ὥραν ἔχονθ' ἕκαστον, ὥςτε συμπρεπές,
Πόλει τ' ἀρήγειν, καὶ θεῶν ἐγχωρίων
Βωμοῖσι, τιμὰς μὴ 'ξαλειφθῆναί ποτε,
Τέκνοις τε, γῆ τε μητρί, φιλτάτῃ τροφῷ.
Ἡ γὰρ νέους ἕρποντας εὐμενεῖ πέδῳ,
Ἅπαντα πανδοκοῦσα παιδείας ὄτλον,
Ἐθρέψατ' οἰκιστῆρας ἀσπιδηφόρους
Πιστούς, ὅπως γένοισθε πρὸς χρέος τόδε.
Καὶ νῦν μὲν ἐς τόδ' ἦμαρ εὖ ῥέπει θεός·
Χρόνον γὰρ ἤδη τόνδε πυργηρουμένοις
Καλῶς τὰ πλείω πόλεμος ἐκ θεῶν κυρεῖ.
Νῦν δ' ὡς ὁ μάντις φησίν, οἰωνῶν βοτήρ,
Ἐν ὠσὶ νωμῶν καὶ φρεσίν, πυρὸς δίχα
Χρηστηρίους ὄρνιθας ἀψευδεῖ τέχνῃ·
Οὗτος τοιῶνδε δεσπότης μαντευμάτων
Λέγει μεγίστην προςβολὴν Ἀχαιΐδα
Νυκτηγορεῖσθαι κἀπιβουλεύσειν πόλει.
Ἀλλ' εἴς τ' ἐπάλξεις καὶ πύλας πυργωμάτων
Ὁρμᾶσθε πάντες, σοῦσθε σὺν παντευχίᾳ,
Πληροῦτε θωρακεῖα, κἀπὶ σέλμασιν
Πύργων στάθητε, καὶ πύλων ἐπ' ἐξόδοις
Μίμνοντες εὐθαρσεῖτε, μηδ' ἐπηλύδων
Ταρβεῖτ' ἄγαν ὅμιλον· εὖ τελεῖ θεός.
Σκοποὺς δὲ κἀγὼ καὶ κατοπτῆρας στρατοῦ
Ἔπεμψα, τοὺς πέποιθα μὴ ματᾶν ὁδῷ.
Καὶ τῶνδ' ἀκούσας, οὔτι μὴ ληφθῶ δόλῳ.

ΕΤΕ-